μηχανή ἐστιν. Ἀλλὰ γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀ- 9
δικῶ κατὰ τὴν Μελίτου γραφὴν, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπο-
λογίας· ἀλλὰ ἱκανὰ καὶ ταῦτα.

ιϛʹ. Ὃ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀ-
πέχθεια γέγονε καὶ πρὸς πολλοὺς, εὖ ἴστε, ὅτι ἀληθές ἐστι. Καὶ
τοῦτ' ἐστὶν, ὃ ἐμὲ αἱρήσει, ἐάν περ αἱρῇ, οὐ Μέλιτος οὐδὲ Ἄνυτος,
ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἀ-
γαθοὺς ἄνδρας ᾕρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν. Οὐδὲν δὲ δεινὸν
μὴ ἐν ἐμοὶ στῇ. Ἴσως δ' ἂν οὖν εἴποι τις· «Εἶτ' οὐκ αἰσχύνῃ, ὦ 2
Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις
νυνὶ ἀποθανεῖν;» ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι· 3
»Ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογί-
ζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός
ἐστιν· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅ,τι ἂν πράττῃ, πότερον
δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ.»
Φαῦλοι γὰρ ἂν, τῷ γε σῷ λόγῳ, εἶεν τῶν ἡμιθέων, ὅσοι ἐν 4
Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός· ὃς το-
σοῦτον τοῦ κινδύνου κατεφρόνησε, παρὰ τὸ αἰσχρόν τι ὑπομεῖ-
ναι, ὥστε, ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα
ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· «Ὦ παῖ, 5
εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, καὶ Ἕκτορα ἀ-
ποκτενεῖς, αὐτὸς ἀποθανῇ.» (αὐτίκα γάρ τοι, φησὶ, μεθ' Ἕκτορα
πότμος ἑτοῖμος·) ὁ δὲ, τοῦτ' ἀκούσας, τοῦ μὲν θανάτου καὶ τοῦ
κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν,
καὶ τοῖς φίλοις μὴ τιμωρεῖν. «Αὐτίκα, φησὶ, τεθναίην, τὴν δίκην 6
ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ
νηυσὶ κορωνῖσιν, ἄχθος ἀρούρης.» Μὴ αὐτὸν οἴει φροντίσαι θα-
νάτου, καὶ κινδύνου; Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ 7

---

9. Ἀπολογίας) Ἔργον δηλ.

ιϛʹ. Ἐάν περ αἱρῇ) Ἐὰν δηλ. τι περιγένηταί μου ἐν τῇ δίκῃ· τοῦτο ἔσται καὶ οὐ Μέλ. — Ἃ δὴ) Διαβολὴ δηλ. καὶ φθόνος. — Οὐδὲν δὲ δεινὸν) Καὶ οὐδεὶς φόβος μὴ στῇ ἐν ἐμοί.

2. Τοιοῦτον ἐπιτήδευμα) Τὸ περιιέναι δηλ. καὶ ἐξελέγχειν, κἀντεῦθεν ἐπισπάσασθαι τῶν ἁπάντων τὴν ἀπέχθειαν.

3. Εἰ οἴει) Ἐὰν νομίζῃς ὅτι δεῖ ἡγεῖσθαι κίνδυνον τοῦτο, ἵνα ζῇ ἢ ἀποθάνῃ ὁ ἀνὴρ, οὗ ἐκ τῆς ζωῆς ἢ τοῦ θανάτου ἔστι καὶ μικρόν τι ὄφελος. Ὅπερ ἐστίν. Οὐδεὶς κίνδυνος, ἐάν τι ὄφελος γένηται ἐκ τῆς ζωῆς, ἢ τοῦ θανάτου τινὸς ὠφελίμου ἀνδρός. — Ἀλλ' οὐκ ἐκεῖνο) Ἀλλ' οὐκ οἴει δεῖν σκοπεῖν ἐκεῖνο μόνον, ὅ,τι ἂν πράττῃ, ταῦτα πότερον δίκαια ἢ ἄδικα πράττει· ἡ δὲ ἀπόδοσις πρὸς πληθυντικὸν διὰ τὸ σημαινόμενον τοῦ ἀορίστου.

4. Ὁ τῆς Θέτιδος) Ἀχιλλεὺς δηλ. Ταύτης γὰρ καὶ Πηλέως ὁ Ἀχιλλεύς. — Παρὰ τὸ αἰσχρὸν) Ἵνα μή τι αἰσχρὸν ὑπομείνῃ· ἡ γὰρ Παρὰ ἐνταῦθα ἀπαγόρευσιν σημαίνει.

5. Πότμος ἑτοῖμος) Ὅμηρ. Ἰλ. Σ στίχ. 96. — Αὐτίκα) Αὐτόθ. στίχ. 98. — Ἄχθος ἀρούρ.) Αὐτόθ. στίχ. 104.

ΙΩΑΝΝΙΝΑ 2006

ἀληθείᾳ· οὗ ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ.

ιζ. Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ, καὶ ἐν Ἀμφιπόλει, καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον, ἔμενον, ὥσπερ καὶ ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν· τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν, καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον, ἢ ἄλλο ὁτιοῦν
2 πρᾶγμα, λείποιμι τὴν τάξιν. Δεινὸν μέν τ᾽ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ᾽ ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ, καὶ δεδιὼς θάνατον,
3 καὶ οἰόμενος σοφὸς εἶναι, οὐκ ὤν. Τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα. Δοκεῖν γὰρ
4 εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. Οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ᾽ εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δ᾽, ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. Καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι
5 εἰδέναι, ἃ οὐκ οἶδεν; Ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων· καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅδου, οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν
6 οἶδα. Πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ

---

7. Πρὸ τοῦ αἰσχροῦ) Προτιμᾶσθαι γὰρ δεῖ πάντα κίνδυνον καὶ τὸν θάνατον αὐτόν, ἢ αἰσχρῶς ζῆν, καὶ μὴ κινδυνεύειν· ἡ δὲ Πρὸ τὸ μᾶλλον σημαίνει.

ιζ΄. Οἱ ἄρχοντες) Ἐννοεῖ τὸν Καλλίαν, Κλέωνα, καὶ Ἱπποκράτην. Οὗτος δὴ ὁ Ἱπποκράτης ἐστρατήγει εἰς Δήλιον πόλιν Βοιωτίας, Ἀπόλλωνος ἱερόν, ἔνθα Βοιωτοὶ Ἀθηναίους ἐνικήσαν(?). Στράβ. Θ. καὶ Ἀρποκρατ. καὶ Ἡσύχ. ἐν ἐπὶ Δηλίῳ μάχῃ. Οὗτος δὲ αὐτὸς ἦν στρατηγὸς Ἀθηναίων καὶ ἐν Ἀμφιπόλει, πόλει Θρᾴκης ἢ Μακεδονίας πρὸς τὸν Στρύμονα ποταμόν ἔνθα Ἀθηναῖοι ἡττήθησαν ὑπὸ Λακεδαιμονίων, ὁ δὲ μετὰ τοῦ στρατεύματος κατέφυγεν εἰς Ποτίδαιαν πόλιν Θρᾴκης πρὸς τὸ Αἰγαῖον πέλαγος· ἣν οὕτω κατεῖχον Ἀθηναῖοι, ὥστε ἐντεῦθεν ὁ Πελοποννησιακὸς ἠγέρθη πόλεμος. Ἐν ταύταις δὲ ταῖς μάχαις περὶ τῆς ἀνδρείας Σωκράτους συμφώνως λέγουσι πάντες οἱ τοῦ Πελοποννησιακοῦ πολέμου συγγραφεῖς· Λαέρτ. Β. κβ΄. Ἀθήν. Ε. ιε. Αἰλιαν. Ποικ. ἱστ. Γ. ιζ΄. Πλούταρ. Ἀλκιβ. Πλτ. Συμποσ. λέ. — Οὗ ἐκεῖν.) Ἔνθα οἱ ἄρχοντες ἔταττον.

— Ἐνταῦθα δὲ) Ὁ Δὲ ἀντὶ τοῦ Δή.

4. Καὶ τοῦτο) Καὶ διὰ τοῦτο.

5. Τούτῳ) Ἐν τούτῳ ἤτοι κατὰ τοῦτο. — Καὶ εἰ δή τῳ) Καὶ Ἐὰν λέγω ὅτι εἰμὶ σοφώτερός τινος κατά τι ἢ ἔν τινι κατὰ τοῦτο ἂν λέγοιμι ὅτι καὶ τλ.

6. Πρὸ οὖν τῶν κακῶν) Οὐδέποτε φοβήσομαι, ἢ φεύξομαι, προτιμήσας ἃ μὴ οἶδα, εἰ ἀγαθά εἰσιν, ἐκείνων, ἃ οἶδα, ὅτι εἰσὶ κακά. Ἡ μὲν οὖν Πρό, τὸ μᾶλλον δηλοῖ, τὸ δέ τοι ὧν ἔθει Ἀττικῷ ὑπεδύθη τὴν πτῶσιν τοῦ ἡγουμένου· καὶ τὸ μὲν Ὅτι ἀκολουθοῦν τῷ Οἶδα, βεβαίωσιν σημαίνει· τὸ δὲ Εἰ ἀμφιβολίαν.

Ε.Γ.Α της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι, οὐδὲ 6
φεύξομαι. Ὥστε οὐδὲ εἴ με νῦν ὑμεῖς ἀφίετε, Ἀνύτῳ ἀπιστή- 7
σαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἢ ἐπει-
δὴ εἰσῆλθον οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με· λέγων πρὸς
ὑμᾶς, ὡς εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες,
ἃ Σωκράτης διδάσκει, πάντες παντάπασι διαφθαρήσοιντο, εἴ
μοι πρὸς ταῦτα εἴποιτε· «Ὦ Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πει- 8
σόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν
ταύτῃ τῇ ζητήσει διατρίβειν, μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι
τοῦτο πράττων, ἀποθανῇ·» εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀ-
φίοιτε, εἴποιμ' ἂν ὑμῖν· «Ὅτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπά- 9
ζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ τῷ Θεῷ μᾶλλον ἢ ὑμῖν· καὶ
ἕως περ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσομαι φιλοσοφῶν,
καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος,» ὅτῳ ἂν ἀεὶ ἐν-
τυγχάνω ὑμῶν, λέγων οἷά περ εἴωθα· «Ὅτι, ὦ ἄριστε ἀνδρῶν, 10
Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν
καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνῃ ἐπιμελόμενος, ὅπως σοι
ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀλη-
θείας, καὶ τῆς ψυχῆς ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελῇ, οὐδὲ
φροντίζεις;» Καὶ ἐάν τις ὑμῶν ἀμφισβητήσῃ, καὶ φῇ ἐπιμελεῖ- 11
σθαι, οὐκ εὐθὺς ἀφήσω αὐτόν, οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν
καὶ ἐξετάσω καὶ ἐλέγξω· καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν,
φάναι δέ, ὀνειδιῶ, ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου ποιεῖται,
τὰ δὲ φαυλότερα, περὶ πλείονος. Ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυ- 12
τέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ· μᾶλλον
δὲ τοῖς ἀστοῖς, ὅσῳ μοι ἐγγυτέρω ἐστὲ γένει. Ταῦτα γὰρ κε- 13
λεύει ὁ Θεός, εὖ ἴστε· καὶ ἐγὼ οἴμαι, οὐδέν πω ὑμῖν μεῖζον ἀ-
γαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ Θεῷ ὑπηρεσίαν. Οὐδὲν 14
γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεω-

---

7. Ἢ τὴν ἀρχὴν) Ἢ κατὰ τὴν ἀρχὴν οὐκ ἔδει· ὅπερ ἐστὶν ἢ παντάπασιν οὐκ ἔδει καὶ τλ.

9. Οἷά περ εἴωθα) Λέγων τοιαῦτα, οἷα εἴωθα λέγειν· τὰ γὰρ ἀναφορικὰ κατ' ἔλλειψιν τῶν ἀνταποδοτικῶν λέγεται πολλάκις.

10. Ἀθηναῖος ὤν, πόλεως) Ἤτοι, ὢν ἐξ Ἀθηνῶν πόλεως· ἔστι δὲ ἡ σύνταξις κατὰ τὰς κτητικὰς ἀντωνυμίας· οἷον· Σὸν ἐστὶ τοῦ πάντα εἰδότος· ἐκεῖναί τε γὰρ εἰς γενικὴν ἀναλύονται κτητικῶς· οἷον· Ἴδιόν σου τοῦ εἰδότος· καὶ τὰ ἐθνικὰ δὲ ταῦτα εἰς γενικὴν προθετικὴν [illegible] οἷον· Ἀθηναῖος ὁ ἐξ Ἀθηνῶν. Πρὸς ἐννοουμένην ἄρα γενικὴν ἡ σύνταξις.

11. Φάναι δὲ) Ὅτι κέκτηται ἀρετήν. — Περὶ ἐλαχίστου) Περὶ πλείστου ποιῶμαι ἀντὶ προτιμῶ, ἢ ἀντέχομαι· περὶ ἐλαχίστου δὲ τοὐναντίον ἀντὶ καταφρονῶ, ἢ ἀμελῶ.

12. Ταῦτα καὶ νεωτέρῳ) Τὸ Ποιῶ συντάσσεται καὶ δοτικῇ καὶ αἰτιατικῇ· οἷον ποιῶ σε ταῦτα· καὶ ποιῶ σοι ταῦτα. Καὶ ἔστι ὥς γε δοκεῖ τὸ ῥῆμα περιποιητικῶς συνταττόμενον· καὶ ὅταν πρὸς αἰτιατικὴν προσώπου φέρηται, κατ' ἔλλειψιν προθέσεως τῆς Διὰ λέγεται· ἡ δ' ἀρχαία τῇ δοτικῇ περιποιητικῶς λεγομένῃ. — Ἐ[illegible] Ἀθηναῖοι γάρ, Ἀθηναίων [illegible]

τέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται· λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς τὰ χρήματα, καὶ τἄλλα τἀγαθὰ
15 τοῖς ἀνθρώποις ἅπαντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτα ἂν εἴη βλαβερά· εἰ
16 δέ τις μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. Πρὸς ταῦτα φαίην ἄν· ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή, καὶ ἢ ἀφίετέ με, ἢ μή· ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

ιή. Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν, ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν.
2 Καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. Μέλλω γὰρ οὖν ἄττα ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. Εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς.
3 Ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος, οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιντο. Οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ
4 ὑπὸ χείρονος βλάπτεσθαι. Ἀποκτείνειε μὲν τ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμάσειεν· ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά· ἐγὼ δὲ οὐκ οἴομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὑτωσὶ νῦν ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιν-
5 νύναι. Νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μή ἐξαμάρτητε
6 περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν, ἐμοῦ καταψηφισάμενοι. Ἐὰν γάρ με ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς (εἰ καὶ γελοιότερον εἰπεῖν) προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ, καὶ
7 δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος. Οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων, καὶ ὀνειδίζων ἕνα ἕκαστον, οὐδὲν παύομαι τὴν ἡμέραν

---

16. Οὐδ' εἰ μέλλω) Τὸ μέλλω ἀεὶ ἐπὶ ἐνδεχομένων λέγεται· κἀνταῦθα γὰρ ὡς ἀμφιβαλλόμενόν τὸ ὑπὸ τῶν δικαστῶν θανεῖν διὰ τοῦ Μέλλω ἐξήνεγκε.

ιή. Ἀλλὰ ἐμμείνατέ μοι) Ἀλλὰ μείνατε, παρακαλῶ, ἐν ἐκείνοις, περὶ ὧν ἐδεήθην ὑμῶν. Τὸ δ'· Οἷς ὑπεδύθη τὴν πτῶσιν τοῦ ἀνταποδοτικοῦ προθετικοῦ· ὡς τὴν Ἐν προθέτεως ἐν τῷ ῥήματι κειμένης ἔθει Ἀττικῷ.

2. Οἷον ἐγὼ λέγω) Ἐμὲ εἶναι.

4. Ἐγὼ δὲ οὐκ οἴομαι) Μεγάλα κακά· ἀλλ' οἴομαι μέγα κακὸν εἶναι τὸ ποιεῖν ἃ οὑτοσὶ καὶ τλ. — Ἐπιχειρεῖν) Κατ' ἐπεξήγησιν δηλ. τὸ ἐπιχειρεῖν ἀποκτείνειν ἄνδρα ἀδίκως.

5. Περὶ τοῦ θεοῦ δόσιν) Περὶ τὴν δωρεὰν τοῦ θεοῦ τὴν ὑμῖν δοθεῖσαν.

6. Εἰ καὶ γελοιότερον) Ἐστὶ δηλ.

7. Οἷον δή μοι) Ἀντὶ τοῦ Οὕτως οὖν μοι δοκεῖ.

ἔλην πανταχοῦ προσκαθίζων. Τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑ-
μῖν γενήσεται, ὦ ἄνδρες. Ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου. 8
Ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγει-
ρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀπο-
κτείναιτε· εἶτα τὸν λοιπὸν χρόνον καθεύδοντες διατελοῖτε ἄν, εἰ
μή τινα ἄλλον ὑμῖν ὁ Θεὸς ἐπιπέμψειε, κηδόμενος ὑμῶν. Ὅτι δ' 9
ἐγὼ τυγχάνω ὢν τοιοῦτος οἷος ὑπὸ τοῦ Θεοῦ τῇ πόλει δεδό-
σθαι, ἐνθένδε ἂν κατανοήσαιτε. Οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ 10
τῶν μὲν ἐμαυτοῦ ἁπάντων ἠμεληκέναι, καὶ ἀνέχεσθαι τῶν οἰ-
κείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν
ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα, ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύ-
τερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. Καὶ εἰ μέντοι τι ἀπὸ τού- 11
των ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην,
εἶχεν ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι
τἄλλα πάντα οὕτως ἀναισχύντως κατηγοροῦντες, τοῦτό γε οὐχ
οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι, παρασχόμενοι μάρτυρα, ὡς
ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. Ἱκανὸν γάρ, οἶ- 12
μαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

ιθ'. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν
ταῦτα ξυμβουλεύω περιϊὼν καὶ πολυπραγμονῶν, δημοσίᾳ δὲ οὐ
τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πό-
λει. Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολ- 2
λαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή]· ὃ
δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλιτος ἐγράψατο. Ἐμοὶ δὲ 3
τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη· ἣ ὅταν γέ-
νηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέ-
πει δὲ οὔποτε. Τοῦτό ἐστιν ὅ μοι ἐναντιοῦται, τὰ πολιτικὰ πράτ- 4
τειν· καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι. Εὖ γὰρ ἴστε, ὦ
ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ
πράγματα, πάλαι ἂν ἀπολώλειν, καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκειν
οὐδέν, οὔτ' ἂν ἐμαυτόν. Καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ. 5

---

8. Τάχ' ἂν) Ἐνταῦθα κατὰ μετοχήν, καὶ ῥῆμα ἐχρήσατο τῷ ἄν, τὴν δυσχέρειαν τοῦ πράγματος ἐμφαίνοντι, διὰ ταῦτα καὶ κόμμασι, καὶ ὑπερβατοῖς ἐχρήσατο. — Ἂν ἀποκτείναιτε) Πρὸς ὑποτακτικὸν ὁ Ἂν διὰ τὸ μέλλον τοῦ πράγματος.

9. Οἷος . . . δεδόσθαι) Τὸ ἀναφορικὸν Οἷος προηγουμένου τοῦ ἀνταποδοτικοῦ ἐπιτατικῶς πρὸς ἀπαρέμφατον φέρεται κατὰ τὸ Οὕτως, ὥστε.

10. Τὸ δὲ ὑμέτερον) Καὶ τὸ ἐνασχολεῖσθαι ἀεὶ εἰς τὸ ὑμέτερον συμφέρον.

11. Ἀπαναισχυντῆσαι) Θωμᾶς Μάγιστρ. Ἀπαναισχυντῶ, καὶ ἀπαναιδεύομαι Ἀττικοί, οὐ χωρὶς τῆς προθέσεως.

ιθ'. 2. Ὅτι μοι θεῖον) Ὅτι δηλ. μοὶ γίγνεται φωνή τις οὖσα θεῖόν τι καὶ δαιμόνιον πρᾶγμα.

3. Φωνή τις γιγνομένη) Ἐπεξήγησις τοῦ Τοῦτο· ὡς εἰ ἔλεγε, Φωνή τις δηλονότι γιγνομένη μοί ἐστιν, ἥτις καὶ τλ.

Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ οὐδενὶ πλήθει γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

κ΄. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ
2 λόγους, ἀλλ', ὃ ὑμεῖς τιμᾶτε, ἔργα. Ἀκούσατε δή μοι τὰ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δέον δείσας θάνατον· μὴ ὑπείκων δὲ ἅμα καὶ ἅμ' ἂν ἀπολοίμην. Ἐρῶ
3 δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς, τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας, ἐβουλεύσασθε ἀθρόους κρίνειν,
4 παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. Τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲ ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν, ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φο-
5 βηθέντα δεσμὸν ἢ θάνατον. Καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν Θόλον, προσέταξαν

---

5. Οὐ γάρ ἐστιν ὅς τις) Ἀντὶ οὐδεὶς ἀνθρώπων ἐναντιούμενος ὑμῖν, ἢ ἄλλῳ τινὶ πλήθει, σωθήσεται. — Τῷ ὄντι) Ἐπιῤῥηματικῶς λαμβάνεται ἀντὶ πάντως. ἔστι δὲ δοτικὴ κατ' ἔλλειψιν τῆς Ἐν. Τοιοῦτον ἐστὶ καὶ τὸ παρ' ἡμῖν τῇ ἀληθείᾳ, ἔλλειψιν δηλ. ἔχει τῆς Ἐν. — Μαχούμενον.) Ἀοριστολογικῶς ἀντὶ τοῦ, ὅς τις ἄν.

κ΄. 2. Μὴ ὑπείκων δὲ) Καὶ ἅμα οὖν μὴ ὑπείκων οὐδενὶ περὶ τὸ δίκαιον, ἅμα ἂν ἀπολοίμην διὰ τοῦτο· τὸ δὲ διπλοῦν ἅμα σύνηθες· καὶ γὰρ Ξενοφῶν Κύρ. Παιδ. Γ΄. ά. 15. Ὅρα, μὴ ἅμα τε εὖ ποιήσῃς, καὶ ἅμα οὐ φίλον νομίσωσί σε.

3. Ἐβούλευσα δὲ) Εἷς δηλ. ἐγενόμην τῆς βουλῆς τῶν πεντακοσίων· τοῦτο γὰρ δηλοῖ τὸ βουλεύειν· ὡς δηλ. ἐκ τῶν Ξενοφ. Ἀπομν. Α΄. ά. 8. καὶ Δημοσθ. περὶ Στεφ. Θ΄. — Καὶ ἔτυχεν) Ὁ Καὶ ἀντὶ τοῦ Γάρ. — Πρυτανεύουσα) Δέκα ἦσαν αἱ φυλαὶ ἐν Ἀθήναις· Πανδιονίς, Λεοντίς, Ἀντιοχίς, Κεκροπίς, Ἐρεχθηΐς, Αἰγηΐς, Ἀκαμαντίς, Ἱπποθοωντίς, Αἰαντίς, Οἰνηΐς, ἐξ ἑκάστης τούτων ἐξελέγοντο ἀνὰ πεντήκοντα, καὶ τὸ σύμπαν ἐκαλεῖτο Βουλὴ τῶν πεντακοσίων. Ἐκ τούτων κατὰ μῆνα ἕκαστον προήδρευον ἐν τῷ συνεδρίῳ πεντήκοντα, κλήρῳ, ἀπὸ μιᾶς φυλῆς. Οὗτοι δὲ ἐκαλοῦντο Πρυτάνεις· ἐπρυτάνευον δὲ ἡμέρας τριάκοντα καὶ πέντε· καὶ ὁ μὴν οὗτος ἐκαλεῖτο Πρυτανεία. — Κρίνειν παρανόμως) Περικλῆς, Διομέδων, Λυσίας Ἀριστοκράτης, Θράσυλλος, Ἐρασινίδης, Πρωτόμαχος Ἀριστογένης, Κόνων, Καλλικρατίδας, οὗτοι ἦσαν οἱ δέκα στρατηγοί· Οἱ περὶ Λέσβον ναυμαχήσαντες Λακεδαιμονίοις, καὶ διώξαντες τοὺς πολεμίους· ἐπεὶ δὲ διὰ τὸν χειμῶνα μέγαν γενόμενον οὐκ ἠδυνήθησαν ἀνελεῖν τοὺς ναυαγοὺς, βοῶντος τοῦ δήμου κατηγοροῦντος Καλλιξένους, οἱ Πρυτάνεις, φοβηθέντες ἐψηφίζοντο ἀνελεῖν τοὺς δέκα τούτους στρατηγούς· μόνος δὲ Σωκράτης ὁ Σωφρονίσκου, οὐκ ἔφη, ἢ κατὰ νόμους ποιήσειν. Ξενοφ. Ἑλλ. Α΄ ς΄. ξ΄.

5. Πέμπτον αὐτὸν) Ἰδίωμα καὶ τοῦτο Ἀττικὸν ἀντὶ τέσσαρας ἄλλους καὶ ἐμὲ πέμπτον· λέγοντες οὖν πέμπτον αὐτόν,

ΙΩΑΝΝΙΝΑ 2006

ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι οἷα
δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς
πλείστους ἀναπλῆσαι αἰτιῶν. Τότε μέν τοι ἐγὼ οὐ λόγῳ ἀλλ' 6
ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ μὲν θανάτου μέλει (εἰ μὴ ἀγροι-
κότερον ἦν εἰπεῖν) οὐδ' ὁτιοῦν· τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀ-
νόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. Ἐμὲ γὰρ ἐκείνη ἡ 7
ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργα-
σασθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς Θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες
ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀ-
πιὼν οἴκαδε. Καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ 8
διὰ ταχέων κατελύθη. Καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

κά. Ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον
τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, ἐβοήθουν τοῖς
δικαίοις, καί, ὥσπερ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; Πολ-
λοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐ-
δείς. Ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου, δημοσίᾳ τε εἴ πού τι ἔπραξα, 2
τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγ-
χωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί,
οὓς δὴ οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. Ἐγὼ 3
δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τις ἐμοῦ λέ-
γοντος, καὶ τὰ ἐμαυτοῦ πράττοντος, ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώ-
τερος, εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. Οὐδὲ χρήματα
μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δέ, οὔ· ἀλλ' ὁμοίως
καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾷν· καὶ ἐάν τις
βούληται, ἀποκρινόμενος ἀκούει ὧν ἂν λέγω. Καὶ τούτων ἐγώ, 4
εἴτε τις χρηστὸς γίγνεται, εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑ-
πέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα, μήτε

---

τὸν πρῶτον ἐννοοῦσι μετὰ καὶ ἄλλων τεσσάρων σὺν αὐτῷ· οὕτως οὖν καὶ ἐπὶ παντὶ ἄλλῳ ἀριθμῷ — Εἰς τὴν Θόλον) Τίμαιος Γλωσσάρ. Πλάτων. Θόλος, οἶκος περιφερής, ἐν ᾧ οἱ Πρυτάνεις συνιστιῶντο Πολυδ. Θ'. Ἡ Θόλος, ἐν ᾗ συνεδείπνουν ἑκάστης ἡμέρας πεντήκοντα τῆς τῶν πεντακοσίων βουλῆς.

6. Τούτου δὲ τὸ πᾶν μέλει) Ἐμοὶ δηλ. μέλει περὶ τούτου τοῦ μηδὲν ἄδικον ἐργάζεσθαι κατὰ τὸ πᾶν ἅπαντα δηλ. μου ἡ φροντὶς αὕτη ἐστὶ τὸ μηδὲν ἄδικον ἐργάζεσθαι.

8. Καὶ ἴσως ἂν) Φονευθεὶς δηλ. ὑπὸ τῶν τριάκοντα, ἐπειδὴ οὐχ ὑπήκουσα αὐτοῖς.

κά. Περὶ πλείστου ἐποιούμ.) Ἀντὶ προετίμων. —Πολλοῦ γε δεῖ) Οἱ Ἀττικοὶ ἀντὶ τοῦ εἰκεῖν οὐδαμῶς λέγουσι πολλοῦ γε καὶ δεῖ. Τοῦτο δὲ λέγεται, προηγησαμένης ἐρωτήσεως· Καὶ ἔστιν οἷον· πολλοῦ ἐλλειπὲς ἐστι τοῦτο γε. Ὅπερ ἐστίν· οὔποτε διεγενόμην τοσάδε ἔτη.

2. Ἐμοὺς μαθητὰς) Ὑπαινίττεται ἐνταῦθα μάλιστα τὸν Ἀλκιβιάδην, καὶ Κριτίαν· οἵτινες ἦσαν πάντων Ἀθηναίων μάλιστα βιαιότατοι, καὶ ἀκρατέστατοι, τούτων καὶ ἄλλων ἐλλειμμάτων τὴν ἐπιθυμίαν καὶ σπουδὴν εἰς τὴν διδασκαλίαν καὶ συνήθειαν Σωκράτους ἀνέφερον. Ξενοφ. Ἀπομν. Α'. β'. 12.

4. Τὴν αἰτίαν ὑπέχοιμι) Οὐκ ἂν δικαίως, κριθείην ὡς αἴτιος. Κατὰ τὸ δὲ οὖν τὸ σημαινόμενον λέγεται καί, Εὐθύνας ὑπέχειν· καὶ δίκας ὑπέχειν ἀντὶ εὐθύνεσθαι καὶ δικάζεσθαι, καὶ λόγον ὑπέχειν ἀντὶ διδόναι λόγον περὶ ἀναλωμάτων, ἢ ἄλλων

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΙΩΑΝΝΙΝΑ 2006

5 ἐδίδαξα. Εἰ δέ τίς φησι παρ᾽ ἐμοῦ πώποτε ἤ μαθεῖν ἢ ἀκοῦσαι
ἰδίᾳ ὅ,τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.
κϐ΄. Ἀλλὰ τί δήποτε μετ᾽ ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον
διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀ-
λήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰο-
2 μένοις μὲν εἶναι σοφοῖς, οὖσι δ᾽ οὔ. Ἔστι γὰρ οὐκ ἀηδές. Ἐμοὶ
δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ Θεοῦ πράττειν,
καὶ ἐκ μαντειῶν, καὶ ἐξ ἐνυπνίων, καὶ παντὶ τρόπῳ, ᾧπερ τίς ποτε
καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν.
3 Ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστι καὶ εὐεξέλεγκτα.
Εἰ γὰρ δὴ ἐγὼ τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέ-
φθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔ-
γνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα,
νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ
δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ
ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ᾽ ἐμοῦ κακόν τι
ἐπεπόνθεσαν οἱ οἰκεῖοι αὐτῶν, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι.
4 Πάντως δὲ πάρεισι πολλοὶ αὐτῶν ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον
μὲν Κρίτων οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου
τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τούτου πα-
5 τήρ· ἔτι δ᾽ Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί, Ἐπιγένους πατήρ. Ἄλ-
λοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι,
Νικόστρατος ὁ Ζωτίδου, ἀδελφὸς Θεοδότου· (καὶ ὁ μὲν Θεόδο-
τος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη·) καὶ
Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε τε Ἀδεί-
μαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδω-
6 ρος, οὗ Ἀπολλόδωρος ὁ ἀδελφός. Καὶ ἄλλους πολλοὺς ἔγωγ᾽ ἔχω
ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ πα-
ρέχεσθαι Μέλιτον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρα-
7 σχέσθω, (ἐγὼ παραχωρῶ,) καὶ λεγέτω εἴ τι ἔχει τοιοῦτον. Ἀλλὰ
τούτου πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοη-
θεῖν ἑτοίμους, τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰ-
8 κείους αὐτῶν, ὥς φασι Μέλιτος καὶ Ἄνυτος. Αὐτοὶ μὲν γὰρ οἱ
διεφθαρμένοι τάχ᾽ ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρ-

---

τινῶν· ὁράσεις γὰρ τὰ τοιαῦτα Ἕλληνισ.

5. Ὅ,τι μὴ) Ἄλλο τι μαθεῖν, ἢ ἀκοῦσαι· ὅ,τι μὴ ἔμαθον, ἢ ἤκουσαν καὶ οἱ ἄλλοι πάντες.

κϐ΄. 2. Προσέταξε πράττειν) Ἡ σύνταξις· ᾧ τινι τρόπῳ καὶ ἄλλη τίς ποτε θεία μοῖρα προσέταξέ τινι ἀνθρώπῳ πράττειν, καὶ ὅ,τι δηποτοῦν ἄλλο ἐκτὸς τούτου, ὃ προσέταξεν ἐμοὶ πράττειν.

3. Ἐπεπόνθεσαν) Ἀττικῶς ἀντὶ ἐπεπόνθεισαν. — Μεμνῆσθαι) Πρὸς τὸ χρῆν ἀναφέρεται τὰ ἀπαρέμφατα ταῦτα.

4. Καὶ δημότης) Ὁ ἐκ τοῦ αὐτοῦ δήμου ὤν. Δῆμος δὲ ἐκαλεῖτο παρ᾽ Ἀθηναίοις, ὃ παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἐλέγετο κώμη.

τοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον λόγον ἔχουσι βοηθοῦντες ἐμοί, ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὃν ξυνίσασι Μελίτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθῆ λέγοντι; Εἶεν 9
δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τι ἐστὶ ταῦτα, καὶ ἄλλα ἴσως τοιαῦτα.

κγ΄. Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν, ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὑτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλους πολλούς· ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα, κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. Τάχ' ἂν οὖν τις ταῦτα ἐννοήσας, αὐθαδέστερον ἂν πρός 2
με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις, θεῖτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. Εἰ δή τις ὑμῶν οὕτως ἔχει, (οὐκ ἀξιῶ μὲν ἔγωγε·) 3
εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων, ὅτι «Ἐμοί, ὦ ἄριστε, εἰσὶ μέν πού τινες καὶ οἰκεῖοι.» Καὶ γὰρ τοῦτο 4
αὐτὸ τὸ τοῦ Ὁμήρου, «Οὐδ' ἐγὼ ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων.» Ὥστε καὶ οἰκεῖοί μοι εἰσι, καὶ υἱεῖς γε, 5
ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς· εἷς μὲν μειράκιον ἤδη· δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος, δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. Τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐ- 6
θαδιαζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαῤῥαλέως ἐγὼ ἔχω πρὸς θάνατον, ἢ μή, ἄλλος λόγος· πρὸς δ' οὖν δόξαν καὶ ἐμοί, καὶ ὑμῖν, καὶ ὅλως τῇ πόλει, οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν, καὶ τηλικόνδε ὄντα, καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος. Ἀλλ' οὖν δεδογμένον γέ ἐστι, τὸν Σωκράτην διαφέρειν τινὶ τῶν 7
πολλῶν ἀνθρώπων. Εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ, εἴτε ἀνδρείᾳ, εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ, τοιοῦτοι ἔσονται, αἰ-

---

8. Οἱ τούτων προσήκοντες) Κτητικῶς κατὰ τὰ πρός τι οὕτω καὶ Θουκυδ. Α΄. ρκη. Βασιλέως προσήκοντές τινες.

9 Σχεδόν τι) Τὸ τι περιττῶς κεῖται ὑποστέλλων τὸ τοῦ σχεδὸν σημαινόμενον.

κγ΄. Ἵνα .. ἐλεηθείη) Ἀπὸ παρῳχημένου ὁ Ἵνα πρὸς εὐκτικὸν φέρεται. Σημείωσαι δὲ ὅτι, ὅτε τινὲς ἔφευγον δίκην ἐν Ἀθήναις ἀπολογούμενοι, τέλος ἵν' εἰς οἶκτον κινήσωσι τοὺς δικαστὰς, ἐδάκρυον, καὶ παῖδας ἀνεβίβαζον, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλοὺς ἱκετεύοντας ὑπὲρ αὐτοῦ. — Οὐδὲν ἄρα) Ὁ ἄρα τοῦ Ἔοικε σημαντικός. — Καὶ ταῦτα) Οὐ ποιήσω δηλ.

3. Εἰ δή τις) Ἐάν τις ὑμῶν τοιαύτην ἔχῃ γνώμην, πάντως οὐ βούλομαι πρὸς αὐτὸν λέγειν τι.

4. Τὸ τοῦ Ὁμ.) Ἰλ. Χ. στίχ. 126.

6. Τί δὴ οὖν) Διὰ τί οὖν; — Αὐθαδιαζόμενος) Φρύνιχ. φησίν. Αὐθαδίζεσθαι λέγε, μὴ ἀναιδεύεσθαι· καὶ Θωμ. Μαγιστρ. Ἀπαυθαδίζομαι κάλλιον, ἢ αὐθαδιάζομαι. Φαβωρῖν. Ἀπαυθαδιάζομαι κάλλιον, ἢ αὐθαδιάζομαι.

7. Εἰ οὖν ὑμῶν) Οἷον· Αἰσχρὸν ἂν εἴη, εἰ οἱ δοκοῦντες ἔσονται τοιοῦτοι, οἵους ἐγώ τινας ἑώρακα, ὅταν κρίνωνται· οἵτινες δοκοῦσι μὲν ὅτι εἰσί τι, ἐργάζονται δὲ θαυμάσια· εἴτ' οἴονται πείσεσθαι

σχρὸν ἂν εἴη· οἵους περ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν
κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς
δεινόν τι οἰομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων
ἐσομένων ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε. Οἳ ἐμοὶ δοκοῦσιν
αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ᾽ ἄν τινα καὶ τῶν ξένων ὑπο-
λαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν
ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυ-
8 ναικῶν οὐδὲν διαφέρουσι. Ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε
ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπῃτιοῦν εἶναι, οὔτ᾽ ἂν ἡμεῖς
ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν· ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθε, ὅτι πολὺ
μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγον-
τος, καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος, ἢ τοῦ ἡσυχίαν ἄγοντος.

κδ΄. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲν δίκαιον δοκεῖ εἶναί
μοι δεῖσθαι τοῦ δικαστοῦ, οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ δι-
2 δάσκειν καὶ πείθειν. Οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ
τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ᾽ ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ
ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ
τοὺς νόμους. Οὔκουν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν, οὔθ᾽
3 ὑμᾶς ἐθίζεσθαι. Οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. Μὴ οὖν ἀ-
ξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράτ-
τειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια, μήτε ὅσια, μά-
λιστα πάντως, νὴ Δία μέντοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Με-
4 λίτου τουτουΐ. Σαφῶς γὰρ ἂν εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι
βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς
εἶναι· καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς
5 θεοὺς οὐ νομίζω. Ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν
ἐπιτρέπω καὶ τῷ θεῷ, κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄρι-
στα εἶναι καὶ ὑμῖν.

κέ. Τὸ μὲν οὖν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τού-
τῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμ-

---

μέγα δεινόν, εἰ ἀποθ. — Ὥσπερ ἀθανάτων) Ἀπολύτως· τὸ δὲ Ὥσπερ ἀντὶ τοῦ Ὡς εἰκαστικόν.

— Ὥστ᾽ ἄν τινα) Ὥστε καὶ ξένος ἄν τις ὑπολάβοι ὅτι καὶ τλ.

8. Ὑμᾶς ἐπιτρέπειν) Οὔτε χρὴ ἵν᾽ ὑμεῖς ἐπιτρέπητε ἡμᾶς, ἐὰν ποιῶμεν ταῦτα, ὅσα δηλ. αἰσχύνην περιάπτει τῇ πόλει. — Ἡσυχίαν ἄγοντος) Περιφραστικὴ φράσις· ἀντὶ Ἡσυχάζοντος.

κδ΄. 2. Καὶ ὀμώμοκ.) Πολυδ. Η΄. Ὁ δὲ ὅρκος ἦν τῶν δικαστῶν περὶ μὲν ὧν νόμοι εἰσί, κατὰ τοὺς νόμους ψηφιεῖσθαι· περὶ δὲ ὧν μὴ εἰσί, σὺν γνώμῃ δικαιοτάτῃ. — Οἷς ἂν δοκῇ) Χαριεῖσθαι δηλ.

3. καὶ ἀσεβείας φεύγοντα) Καὶ ὡς ἀσεβῆ κρινόμενόν με, ἢ κατηγορούμενον.

5. Νομίζω τε) Ἐγὼ νομίζω θεοὺς εἶναι· ὑπὲρ πάντα κατήγορόν μου, καὶ ὑμῖν ἐπιτρέπω νομίζειν θεοὺς εἶναι, καὶ κρῖναι περὶ ἐμοῦ ὅπως τῷ θεῷ μέλλει ὡς ἐστὶν ἄριστα ἐμοί τε καὶ ὑμῖν.

κέ. Τὸ μὲν οὖν μὴ) Πρὸς μὲν οὖν

βάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο· ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθ-
μόν. Οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ 2
πολύ. Νῦν δέ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων,
ἀπεπεφεύγειν ἄν. Μέλιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀπο- 3
πέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ καὶ παντὶ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὦφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

κϛ'. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. Εἶεν. Ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς
ἀξίας. Τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτῖσαι, ὅτι μαθὼν ἐν τῷ 2
βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧν περ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν, καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν, καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι,

---

τὸ μὴ ἀγανακτεῖν. — Ἑκατέρων τῶν ψήφων) Τῶν τε λευκῶν καὶ μελαινῶν· Ὅτε γὰρ ἐκρίνετό τις ἐν Ἀθήναις, ἐπὶ ψηφιδίοις ἔγραφον τοὔνομα οἱ μὲν μελαίναις, οἱ δὲ λευκαῖς, καθ' ἣν ἕκαστος ἔτυχεν ἔχων ἤτοι γνώμην πρὸς τὸν κρινόμενον, ἢ κρίσιν πρὸς τὴν αἰτίαν, καὶ ἐτίθουν ἐν δυσὶ καδίσκοις ἐν μέσῳ κειμένοις, οὕτως ἔχουσιν, ὥστε τὸν τιθέντα μὴ δύνασθαι πλέον μιᾶς ἀντιθέναι ταύτας· ἔπειτα ἠρίθμουν οἱ κριταί· καὶ εἰ μὲν ἴσαι ἦσαν, ὁ φεύγων ἐνίκα· εἰ δὲ πλείους τοῦ διώκοντος, οὗτος ἐνίκα.

2. Εἰ τρεῖς μόναι) Ὅπερ ἐστὶ ἓξ πλείους ἦσαν αἱ καταδικάζουσαι· καὶ γάρ, τρεῖς εἰ μετέπιπτον εἰς τὸ μέρος τοῦ Σωκράτους, εἴησαν ἂν ἴσαι· καὶ ἐνίκα Σωκράτης. Καὶ γὰρ Εὐριπ. Ἠλέκτρ. στίχ. 1265. φησίν.

Ἴσαι δέ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι. Λοξίας γὰρ αἰτίαν
Εἰς αὐτὸν οἴσει, μητέρος χρήσας φόνον.
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθείσεται.
Νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.

3. Κἂν ὦφλε) Πάντως ἂν ἀπεδίδου χιλίας δραχμάς· καὶ γὰρ νόμος ἦν. «Ἐάν τις τινὰ φήνας, ἢ γραψάμενος «γραφὴν, μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν, μὴ «μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψή«φων, χιλίας ἀποτίνειν· καὶ τὸ λοιπὸν «μὴ φαίνειν, μηδὲ γράφεσθαι· μηδ' «ἀπάγειν, μηδ' ἐφηγεῖσθαι». Δημοσθ. ἐν Θεοκρίν. — Τὸ πέμπτον μέρος) Ὁ μὲν Λαέρτιος φησὶν Β, 41. Ὅτι οὖν κατεδικάσθη διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολυουσῶν· ὁ δὲ Πλάτων ὅτι εἰ τρεῖς μόναι μετέπεσον ἀπεπεφεύγει ἄν· ἀπέλυον δὲ εἰ ἴσαι ἦσαν, ὡς εἴρηται· φανερὸν ὅτι αἱ πᾶσαι ψῆφοι ἦσαν πεντακόσιαι πεντήκοντα ἕξ. Ἐπεὶ δ' αὖ Σωκράτης φησὶν ὅτι καὶ Ἄνυτος καὶ Λύκων κατηγόρησαν αὐτοῦ, ἕκαστος δὲ τῶν κατηγόρων ὤφειλε τὸ πέμπτον μέρος τῶν ψήφων μεταλαβεῖν, ἵνα μὴ τὰς χιλίας δραχμὰς ἐκτείνῃ· τὸ δὲ πέμπτον τῶν πεντακοσίων πεντήκοντα ἓξ ἐστὶν ἑκατὸν ἕνδεκα· οἱ τρεῖς ἄρα ὤφειλεν ἔχειν ψήφους τριακοσίας τριάκοντα τρεῖς· ἀλλ' ἔφερον κατὰ Λαέρτιον, διακοσίας ὀγδοήκοντα μίαν, ἀπὸ τούτων ἀφαιρεθήτωσαν αἱ τοῦ Ἀνύτου, καὶ Λύκωνος διακόσιαι εἰκοσιδύο, καὶ τὸ λοιπὸν πεντήκοντα ἐννέα, εἰσὶν αἱ τοῦ Ἀνύτου ψῆφοι μὴ οὖσαι τὸ πέμπτον μέρος.

κϛ'. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτ.) Ἀντὶ, τίμημα ἔθετο, ἵνα ἀποθάνω. — Ἐγὼ δὴ δὴ τίνος) Ἐγὼ οὖν τί ἀντιδώσω ὑμῖν ἄξιον τούτου τοῦ τιμήματος; ἢ δῆλον ὅτι τῆς ἀξίας ἀντιτιμήσομαι ὑμῖν τιμῆς. Καὶ ἔστιν ὁ Ἠλυτικὸς ἐπακολουθῶν ἐρωτήσει.

2. Τί οὖν) Τί οὖν φατέ; — Τί ἄξιός εἰμι) Ἐπεξήγησις τρόπον τινὰ τοῦ Ἀντιτιμᾶσθαι. — Οὐχ ἡσυχίαν ἦγον) Ἐπειδὴ μαθών τι ἐν τῷ βίῳ οὐχ ἡσύχαζον. — Ὧν περ οἱ πολλοί) Ἀμελοῦσιν· εἰρωνικῶς δὲ τοῦτο, ἀντὶ τοῦ, ὧν περ οἱ πολλοὶ μάλιστα πάντων ἐπιμέλονται·

ἢ ὥστε εἰς ταῦτα ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ᾖα οἷ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὥς ἐγώ φημι, ἐνταῦθα ᾖα· ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο· μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως· τῶν τε ἄλλων οὕτω κατὰ
3 τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι. Τί οὖν εἰμὶ ἄξιος παθεῖν, τοιοῦτος ὤν; Ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δή γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθε· καὶ ταῦτά γε, ἀγαθὸν τοιοῦτον ὅ,τι ἂν πρέποι
4 ἐμοί. Τί οὖν πρέπει ἀνδρὶ πένητι, εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ᾽ ὅ,τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυτανείῳ σιτεῖσθαι· πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει
5 νενίκηκεν Ὀλυμπιάσιν. Ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ
6 δὲ δέομαι. Εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως.

κζ΄. Ἴσως οὖν ὑμῖν, καὶ ταυτὶ λέγων, παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιαζόμενος. Τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ
2 τοιόνδε μᾶλλον. Πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀν-

---

τοῦτ᾽ ἔστι χρηματισμοῦ καὶ τλ. — Ἢ ὥστε) Συγκριτικῶς πρὸς τὸ Ἐπιεικέστερον· λέγονται γὰρ τὰ συγκριτικὰ καὶ μετὰ τοῦ Ἢ καὶ ὥστε πρὸς ἀπαρέμφατον. — Οὐκ ᾖα) Ἀμελήσας, ἡγησάμενος οὐκ ᾖα. — Οἷ ἐλθὼν) Τὸ Οἷ τοπικόν ἐστιν ἐπίῤῥημα. — Ἐπὶ δὲ τὸ) Ἰὼν δὲ ἐπὶ τὸ εὐεργετεῖν ἰδίᾳ ἕκαστον τὴν μεγίστην εὐεργεσίαν, καθάπερ ἐγὼ ἀποφαίνομαι.

3 Τί οὖν εἰμὶ) Ἐπανάληψις διὰ τὰ πολλὰ ἐμπεσόντα. — Ἀγαθόν τι) Εἰμὶ δηλ. ἄξιος παθεῖν, ἐὰν τιμᾶσθαι ἑκάστῳ κατὰ τὴν ἀξίαν ἢ τῆς ἀξίας. — Καὶ ταῦτά γε) Καὶ ταῦτα λέγω, ὅτι εἰμὶ ἄξιος παθεῖν ἀγαθὸν τοιοῦτο οἷον ἀγαθὸν πρέπει ἐμοί.

4. Δεομένῳ σχολ.) Σχολάζειν, ἡσυχάζειν. — ἐν Πρυτανείῳ) Πρυτανεῖον, φησὶ Σουΐδας, Οἰκίσκος ἐστὶ δημόσιος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα ἐσιτοῦντο δημοσίᾳ οἱ τῆς τοιαύτης τιμῆς παρ᾽ αὐτοῖς τυχόντες. Περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν· ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδοντο χάριν. — Ὀλυμπιάσι) Ἐν Ὀλυμπίοις. Ὀλύμπια γὰρ καὶ Ὀλυμπιὰς καλεῖται παρ᾽ Ἕλλησιν ὁ κατὰ τετραετίαν εἰς τιμὴν Διὸς Ὀλυμπίου, ἐν Ὀλυμπιάδι πόλει Πελοποννησιακῇ συντελούμενος ἀγών, διὰ τὸ καθ᾽ ἑκάστην τετραετίαν μίαν ἡμέραν προστίθεσθαι τῷ ἡλιακῷ ἐνιαυτῷ· ἐν τούτῳ τῷ ἀγῶνι, ἔθεον ἔφιπποι, ἢ ἐπὶ ζεύγους, καὶ ὁ νικήσας ἐλάμβανε τὸ βραβεῖον, τὸ δὲ ἦν στέφανος Ἐλαίας ἀγρίας· καὶ ἐκαλεῖτο Ὀλυμπιονίκης.

5. Ἐγὼ δὲ) Ποιῶ ὑμᾶς εἶναι εὐδαίμονας.

6. Τῆς ἐν Πρυτανείῳ) Ἐπεξήγησις τοῦ, Τούτου.

κζ΄. 2. Ἑκὼν εἶναι) Ἀντὶ ἑκουσίως· τὸ δὲ εἶναι παρέλκει· Σημείωσαι δὲ ὅτι Θωμᾶς Μάγιστρος φησί· «τὸ Ἑκὼν «εἶναι οἱ παλαιοὶ μετὰ ἀπαγορεύσεως «τιθέασι· οἷον οὐδεὶς ἑκὼν εἶναι· καὶ τί «τις ἂν ἑκὼν εἶναι ποιήσειεν· τὸ γὰρ τί «ἐνταῦθα ἀπαγόρευσιν δηλοῖ.»

ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. Πεπεισμένος δ' ἐγὼ μη- 3
δένα ἀδικεῖν, πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν, καὶ κατ' ἐμαυ-
τοῦ ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμι του κακοῦ, καὶ τιμήσεσθαι τοιού-
του τινὸς ἐμαυτῷ. Τί δείσας; ἢ μὴ πάθω τοῦτο, οὗ Μέλιτός 4
μοι τιμᾶται, (ὅ φημὶ οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν
ἐστιν,) ἀντὶ τούτου δὴ ἕλωμαί τι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων,
τούτου τιμησάμενος; Πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσ- 5
μωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ, τοῖς Ἕνδεκα;
Ἀλλὰ χρημάτων, καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταὐτόν μοι
ἐστιν, ὅπερ δὴ νῦν ἔλεγον· οὐ γάρ ἔστι μοι χρήματα ὁπόθεν ἐκτίσω.
Ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. 6
Πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕ-
τως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς
μὲν ὄντες πολῖται μου, οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς
διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐ-
πιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι, ἄλλοι δὲ
ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως· πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι.
Καλὸς οὖν ἄν μοι ὁ βίος εἴη, ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ, ἄλ- 7
λην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. Εὖ γὰρ 8
οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ, ἀκροάσονται οἱ νέοι, ὥσπερ
ἐνθάδε. Κἂν μὲν τούτους ἀπελαύνω, οὗτοί με αὐτοὶ ἐξελῶσι,
πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων
πατέρες τε καὶ οἰκεῖοι, δι' αὐτοὺς τούτους.

κή. Ἴσως οὖν ἄν τις εἴποι, »Σιγῶν τε καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν;« Τουτὶ δή ἐστι

---

3. Ἀπολύεσθαι) Ἀπολύεσθαι τοῦ ἐγκλήματος, καὶ ἀπολύεσθαι τὰς διαβολὰς· διάφορος σύνταξις ἐν τῷ αὐτῷ σημαινομένῳ· ἐν μὲν γὰρ τῇ γενικῇ ἐλλείπει ἡ Ἐκ, ἢ Ἀπό· ἐν δὲ τῇ αἰτιατικῇ ἡ Κατά.

4. Τί δείσας; ἢ μὴ πάθω) Τί ἄλλο δηλ. φοβηθεὶς, ἀδικήσω ἐμαυτὸν, ἢ ἵνα μὴ πάθω τοῦτο, οὗ περ Μέλιτος τιμᾶταί μοι, ὅπερ ἀγνοῶ οὔτε ἐὰν ᾖ ἀγαθὸν, οὔτε ἐὰν κακὸν ᾖ· δηλονότι τὸν θάνατον. — Ἀντὶ τούτου δή) Ἐπανάληψ. ἀντὶ δηλαδὴ τούτου τοῦ θανάτου ἕλωμαι ἐγώ τι ἐκείνων τῶν ἀπαραιτήτως κακῶν ὄντων· καὶ τούτου τιμήσωμαι ἐμαυτῷ; εἴτε ἀντὶ ἄλλα πότερον τούτων; ἀντὶ τοῦ θανάτου δεσμοῦ τιμήσωμαι ἐμαυτῷ; καὶ τλ. Σημειούσθω δὲ ὅτι τὸ Ἕλωμαι ἐστιν αὐθυπότακτον· τὸ Εὖ οἶδ' ὅτι, ἐκ κατὰ παρολκὴν κεῖται βεβαίωσιν τοῦ λόγου δηλοῦν.

5. Τοῖς Ἕνδεκα) Ὁ μὲν Ἡσύχιος φησὶν οἱ Ἕνδεκα, ἄρχοντες, οἷς παρεδίδοντο οἱ θανάτῳ καταδικασθέντες· ὁ δ' Ἐτυμολόγ. Ἕνδεκα, κληρωτοὶ ἄρχοντες ἦταν οὗτοι, προεστηκότες τοῦ δεσμωτηρίου· Βαρῖνος δέ. Ἀρχὴ ἦν ἐν Ἀθήναις οἱ Ἕνδεκα ἐπιμελουμένη τῶν ἐν τῷ δεσμωτηρίῳ κατακρίτων, ἐφ' ἣν ἀνήγοντο οἱ κλέπται, καὶ οἱ ἀνδραποδισταί. — Καὶ δεδέσθαι) Ἐν γὰρ Ἀθήναις ὁ χρήματα ὀφείλων, οὐκ ἀφίετο κατὰ νόμους πρὶν ἐκτῖσαι τὰ χρήματα.

6. Ἀλλὰ δή) Ἀλλὰ τέλος, τοιοῦτό τι σημαίνει ὁ Δή.

7. Πολλοῦ γε δεῖ) Οὐδαμῶς. — Τηλικῷδε ἀνθρ.) Τηλικαύτην ἡλικίαν ἔχοντι.

8. Δι' αὐτοὺς τούτους) Ἐννοεῖται Ἐξελῶσιν ὡς διαφθείροντα δῆθεν αὐτούς.

κή. Οὐχ οἷός) Οὐχ οἷός τ' ἔσῃ ἐξελθὼν

2 πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. Ἐάν τε γὰρ λέγω
ὅτι τῷ Θεῷ ἀπειθεῖν τοῦτ' ἔστι, καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν
ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖθις λέγω ὅτι
καὶ τυγχάνει μέγιστον ὂν ἀγαθὸν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡ-
μέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι, καὶ τῶν ἄλλων περὶ
ὧν ὑμεῖς ἐμοῦ ἀκούετε διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλ-
λους ἐξετάζοντος (ὁ δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ)
3 ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. Τὰ δὲ ἔχει μὲν οὕ-
τως, ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδια. Καὶ ἐγὼ
4 ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. Εἰ μὲν γὰρ
ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτί-
σειν (οὐδὲν γὰρ ἂν ἐβλάβην)· νῦν δὲ οὐ γάρ ἐστιν· εἰ μὴ ἄ-
ρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆ-
σαι. Ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶν ἀργυρίου· το-
5 σούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ
Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριά-
κοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. Τιμῶμαι οὖν το-
σούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

κθ'. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνο-
μα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδο-
ρεῖν, ὡς Σωκράτην ἀπεκτόνηκατε, ἄνδρα σοφόν. Φήσουσι γὰρ
δή με σοφὸν εἶναι, εἰ καὶ μή εἰμι, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν.
2 Εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑ-
μῖν τοῦτο ἐγένετο, ἐμὲ τεθνᾶναι δή. Ὁρᾶτε γὰρ δὴ εἰς τὴν
ἡλικίαν, ὅτι πόῤῥω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. Λέ-
3 γω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ κα-
ταψηφισαμένους θάνατον. Λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς
4 τούτους. Ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἑα-
λωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα

---

τῆς πατρίδος, ζῆν ἡμῖν τοῖς φίλοις ἐπιθυμοῦσί σε ζῶντα ἔχειν.

2. Τυγχάνει . . . ὂν) Φρύνιχος. «Τυγχάνω· καὶ τοῦτο προσεκτέον· οἱ γὰρ «ἀμελεῖς οὕτω λέγουσι φίλος σοι τυγ«χάνω, ἐχθρός μοι τυγχάνεις· δεῖ δὲ τῷ «ῥήματι τὸ ὢν προστιθέναι· φίλος μοι «τυγχάνεις ὤν· ἐχθρός μοι τυγχάνεις ὤν. «οὕτω γὰρ οἱ ἀρχαῖοι ἐχρήσαντο « — Καὶ τῶν ἄλλων) Καὶ περὶ τῶν ἄλλων.

3. Ἀξιοῦν) Ἄξιον κρίνειν.

5. ἀξιόχρεῳ) Ἀττικόν· κλίνεται γὰρ ὁ ἀξιόχρεως, τοῦ ἀξιόχρεω. Ἀμμώνιος δέ φησιν. Ἀξιόχρεώς ἐστιν ὁ ἐπιλῦσαί τι ἱκανός.

κθ'. Οὐ πολλοῦ γ' ἕν.) Οὐ διὰ πολὺν χρόνον· μέλλων γὰρ ὢν οὐκ ἐς μακρὰν βιώσομαι· καὶ διὰ τοῦτον τὸν μικρὸν χρόνον, καθ' ὃν ἂν ἐγὼ βιώσαιμι, ὑμῖν δώσετε αἰτίαν ἵν' οἱ βουλόμενοι λοιδορεῖν τὴν πόλιν, λέγωσιν· ὡς Σωκράτ. καὶ τλ.

2. Ὅτι πόῤῥω . . . τοῦ β.) Ἤτοι ἀπεμακρύνθη ἡ ἡλικία τοῦ βίου καὶ ἐγγύς ἐστι θανάτου.

ΕΥ.Α της Κ.Θ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ποιεῖν καὶ λέγειν ὥστε ἀποφυγεῖν τὴν δίκην. Πολλοῦ γε δεῖ.
Ἀλλ᾽ ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέν τοι λόγων, ἀλλὰ τόλμης καὶ 5
ἀναισχυντίας, καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα,
οἷα ὑμῖν μὲν ἥδιστ᾽ ἂν ἦν ἀκούειν, θρηνοῦντός μου καὶ ὀδυρομένου, καὶ ἄλλα ποιοῦντος, καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν.
Ἀλλ᾽ οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν 6
ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν. Οὔτε γὰρ ἐν δίκῃ οὔτ᾽ ἐν πολέμῳ οὔτε ἐμὲ οὔτε 7
ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν
θάνατον. Καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται 8
ὅτι τό γε ἀποθανεῖν ῥᾷον ἄν τις ἐκφύγοι, καὶ ὅπλα ἀφεὶς καὶ ἐφ᾽ ἱκετείαν τραπεὶς τῶν διωκόντων· καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον,
ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. Ἀλλὰ μὴ οὐ τοῦτ᾽ ᾖ χα- 9
λεπόν, ὦ ἄνδρες Ἀθηναῖοι, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον, πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. Καὶ νῦν ἐγὼ 10
μέν, ἅτε βραδὺς ὢν καὶ πρεσβύτης, ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δέ μου κατήγοροι, ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες, ὑπὸ τοῦ
θάττονος, τῆς κακίας. Καὶ νῦν δὴ ἐγὼ μεν ἄπειμι ὑφ᾽ ὑμῶν 11
θανάτου δίκην ὄφλων, οὗτοι δέ, ὑπὸ τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. Καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω, καὶ οὗτοι. Ταῦτα μὲν οὖν που ἴσως οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

λ΄. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ
καταψηφισάμενοί μου. Καὶ γὰρ εἰμι ἤδη ἐνταῦθα ἐν ᾧ μά- 2
λιστ᾽ ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι.
Φημὶ γάρ, ὦ ἄνδρες, εἴ με ἀποκτενεῖτε, τιμωρίαν ὑμῖν ἥξειν 3

---

5. Πολλοῦ γε δεῖ) Οὐδαμῶς τούτου ἕνεκα ἑάλωκα.

6. Ἢ ἐκείνως ζῆν) Καθ᾽ ὃν δηλ. τρόπον ὑμεῖς βούλεσθαι ἀπολογισάμενος ζῆν

7. Ὅπως ἀποφ.) Ὅν τινα τρόπον σὺν πάσῃ μηχανῇ ἀποφεύξεται τὸν θάνατον.

9. Ἀλλὰ μὴ) Ἀλλὰ μὴ τοῦτο ᾖ, ὅτι οὐκ ἔστι χαλεπὸν τὸ ἐκφυγεῖν θάνατον, ἀλλ᾽ ἔστι χαλεπώτερον τὸ ἐκφυγεῖν πονηρίαν· καὶ γὰρ ἡ πονηρία θᾶττον φεύγει τοῦ θανάτου.

10. Ὑπὸ τοῦ θάττονος) Ἔστι θάσσων, καὶ θάττων, ὁ ταχύς· οὗ τὸ οὐδέτερον θᾶττον καὶ ἐπιῤῥηματικῶς λαμβάνεται· ἐνταῦθα δέ τοι ὀνοματικῶς· ὑπὸ τοῦ θάττονος δηλ. πράγματος· ὅπερ ἐστὶν ἡ κακία.

11. Θανάτου δίκην ὠφλ.) Ἤτοι ὀφείλων ἀποθανεῖν. — Καὶ οὗτοι) Ἐμμένουσι τῷ τιμήματι. Ὅπερ ἐστὶ καὶ ἐγὼ ἀποθανοῦμαι, καὶ οὗτοι εἰσὶ μοχθηροὶ καὶ ἄδικοι.

λ΄. 2. Ἐνταῦθα ἐν ᾧ) Εἰς τοιαύτην περίστασιν, καὶ ἦν. Σημείωσαι δέ μοι ὅτι Εὐσταθ. Ἰλ. Π. Σελ. 1089, 59. φη-



Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον, πολὺ χαλεπωτέραν, νὴ Δία, ἢ
4 οἵαν ἐμὲ ἀπεκτείνατε. Νῦν γὰρ τοῦτο εἴργασθε, οἰόμενοι ἀπαλ-
λάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου· τὸ δὲ ὑμῖν πολὺ ἐ-
5 ναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. Πλείους ἔσονται ὑμᾶς οἱ ἐ-
λέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε· καὶ
χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀ-
6 γανακτήσεται. Εἰ γὰρ οἴεσθε, ἀποκτείναντες ἀνθρώπους, ἐπι-
σχήσειν τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐ κα-
7 λῶς διανοεῖσθε. Οὐ γάρ ἐσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυ-
νατὴ, οὔτε καλὴ· ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥάστη, μὴ τοὺς
ἄλλους κολούειν, ἀλλ' αὐτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς
8 βέλτιστος. Ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαν-
τευσάμενος, ἀπαλλάττομαι.

λά. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ
τοῦ γεγονότος τουτουῒ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν
2 ἄγουσι, καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. Ἀλλά
μοι, ὦ ἄνδρες Ἀθηναῖοι, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν
3 γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. Ὑ-
μῖν γὰρ ὡς φίλοις οὖσιν, ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβε-
βηκὸς τί ποτ' ἐννοεῖ. Ἐμοὶ γὰρ, ὦ ἄνδρες δικασταὶ, (ὑμᾶς γὰρ
4 δικαστὰς καλῶν, ὀρθῶς ἂν καλοίην,) θαυμάσιόν τι γέγονεν. Ἡ
γὰρ εἰωθυῖά μοι μαντικὴ, ἡ τοῦ δαιμονίου, ἐν μὲν τῷ πρόσθεν
χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν, καὶ πάνυ ἐπὶ σμικροῖς ἐναν-
τιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν. Νυνὶ δὲ ξυμβέβη-
κέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοὶ ταυτὶ, ἅ γε δὴ οἰηθείη ἄν τις,
5 καὶ νομίζεται, ἔσχατα κακῶν εἶναι. Ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕω-
θεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέ-
βαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδενὶ,
6 μέλλοντί τι ἐρεῖν. Καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με
ἐπέσχε λέγοντα μεταξύ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶ-
ξιν, οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωθη μοι. Τί οὖν
αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ. Κινδυνεύει γάρ μοι τὸ
7 ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι· καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς

---

σίν. Ἔστι δὲ δόγμα παλαιὸν, ὡς ἀπαλλαττομένη σώματος ἡ ψυχὴ, καὶ θείᾳ φύσει ἐγγίζουσα, ἔχει τι μαντικῆς.

3. Ἢ οἵαν) Ἢ καθ' οἵαν τιμωρίαν.

4. Τὸ δὲ) Τοῦτο δὲ τὸ πρᾶγμα.

7. Οὐ γὰρ ἐσθ' αὐτ.) Καὶ γὰρ αὐτὴ ἡ ἀπαλλαγὴ οὐκ ἔστιν οὔτε πάνυ δ. καὶ τλ.

λά. 2. Κωλύει) Ἔκαστον δηλ.

4. Ἡ γὰρ εἰωθ.) Ὁ Γὰρ διηγηματικὸς ἐν πλεονασμῷ κείμενος.

5. Ἐν τῷ λόγῳ οὐδενὶ) Οὐδενὶ μέρει τοῦ λόγου· ἤτοι οὐκ ἐναντιώθη ἐν οὐδενὶ μέρει τοῦ λόγου· ἐξήνεγκε δὲ ὁμοιοπτώτως· καὶ ἔστι τὸ Οὐδενὶ, οἷον ἐπίρρημα ἀντὶ τοῦ Οὐδαμῇ.

7. Καὶ οὐκ ἔσθ' ὅπως) Παντὶ γὰρ τρόπῳ ἠναντιώθη ἄν μοι κατάρξασι

ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι.
Μέγα μοι τεκμήριον τοῦτο γέγονεν. Οὐ γὰρ ἔσθ᾽ ὅπως οὐκ ἠ- 8
ναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀ-
γαθὸν πράξειν.

λϐ΄. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγα-
θὸν αὐτὸ εἶναι. Δυοῖν γὰρ θάτερον ἐστι τὸ τεθνάναι· ἢ γὰρ 2
οἷον μηδὲν εἶναι, μηδ᾽ αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν
τεθνεῶτα, ἤ, κατὰ τὰ λεγόμενα, μεταβολή τις τυγχάνει οὖσα
καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τό-
πον. Καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ᾽ οἷον ὕπνος, ἐ- 3
πειδάν τις καθεύδων μηδ᾽ ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος
ἂν εἴη ὁ θάνατος. Ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι 4
ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰ-
δεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ
ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί, δέοι σκεψάμενον εἰπεῖν,
ὁπόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκ-
τὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τι-
νά, ἀλλὰ τὸν μέγαν βασιλέα, εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν
ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. Εἰ οὖν τοιοῦτον 5
ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· (καὶ γὰρ οὐδὲν πλείων ὁ
πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ·) εἰ δ᾽ αὖ οἷον
ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀ-
ληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσιν ἅπαντες οἱ τεθνεῶτες,
τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; Εἰ γάρ τις 6
ἀφικόμενος εἰς ᾅδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικα-
στῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέ-
γονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς
καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν
τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγ- 7

---

γὰρ αἱ δύο ἀρνήσεις ποιοῦσιν· οἷον· οὐδεὶς γὰρ ἂν ἦν τρόπος, καθ᾽ ὃν οὐκ ἂν ἠναντιώθη, ὅπερ ἐστὶ παντὶ τρόπῳ ἠναντιώθη ἄν.

λϐ΄. 2. Ἢ γὰρ οἷον) Ἢ γὰρ ἐστὶ τοιοῦτον, οἷον μηδ.

4. Δέοι σκεψ.) Ἐπανέλαβε τὸ Δέοι ὡς ἀπὸ τοῦ ἀπαρεμφάτου πολὺ τοῦ πρώτου ἀφεστῶτος. — Οἶμαι ἄν) Πάλιν ἐπανέλαβε τὸ Οἶμαι· ὁ δέ τοι Ἂν καὶ ἐν τῷ πρώτῳ Οἶμαι καὶ ἐν τούτῳ, καὶ ὁ πρὸ τοῦ Εὑρεῖν, εἰς αὐτὸ τὸ Εὑρεῖν δυνητικῶς ἀναφέρονται κατ᾽ ἐπανάληψιν ἀντὶ ἑνός. Ὁ δὲ νοῦς τοιοῦτος. Εἰ δέοι τινὰ ἐξελεξάμενον νύκτα, ἐν ᾗ ἐκοιμήθη μὴ ἰδὼν ὄναρ, καὶ παραθέντα ταύτῃ τῇ νυκτὶ τὰς ἄλλας νύκτας καὶ ἡμέρας τοῦ βίου αὐτοῦ, σκεψάμενον ἰδεῖν, ὁπόσας ἡμέρας καὶ νύκτας ἐν τῷ ἑαυτοῦ βίῳ βεβίωκεν ἄμεινον καὶ ἥδιον ταύτης τῆς νυκτὸς, οἶμαι ὅτι μὴ μόνον ἰδιώτης, ἀλλὰ καὶ αὐτὸς ὁ μέγας βασιλεὺς Περσῶν (Μέγαν γὰρ βασιλέα ἐκάλουν Ἕλληνες τὸν Περσῶν βασιλέα) εὕροι ἄν, ὅτι αἱ τοιαῦται εὐάριθμοι ἔσονται, παραβαλλόμεναι πρὸς τὰς ἄλλας νύκτας καὶ ἡμέρας.

5. Ἔγωγε λέγω) Ὅτι ἐστὶν ὁ θάνατος κέρδος.

6. Μίνως τε καὶ Ῥ.) Οὗτοι, φασὶν, ἐν ᾅδου εἰσὶ δικασταί.

ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ, ἐπὶ πόσῳ ἄν
8 τις δέξαιτ' ἂν ὑμῶν; Ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι,
εἰ ταῦτά ἐστιν ἀληθῆ. Ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν
εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδῃ καὶ Αἴαντι
τῷ Τελαμῶνος, καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄ-
δικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ
9 ἐκείνων, ὡς ἐγῷμαι, οὐκ ἂν ἀηδὲς εἴη. Καὶ δὴ καὶ τὸ μέγι-
στον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα, ὥσπερ τοὺς ἐνταῦθα,
διάγειν, τίς αὐτῶν σοφός ἐστι, καὶ τίς οἴεται μέν, ἔστι δ' οὔ.
10 Ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν
ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιάν, ἢ Ὀδυσσέα, ἢ
Σίσυφον; ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖ-
κας, οἷς διαλέγεσθαι ἐκεῖ καὶ ξυνεῖναι καὶ ἐξετάζειν, ἀμήχα-
11 νον ἂν εἴη εὐδαιμονίας πάντως. Οὐ δήπου τούτου γε ἕνεκα οἱ
ἐκεῖ ἀποκτενοῦσι. Τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐ-
κεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴ-
περ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

λγ'. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας
εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές,
ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τε-
λευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα·
οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν
ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλ-
2 τιον ἦν μοι. Διὰ ταυτὶ καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψε τὸ σημεῖον,
καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τοῖς κατηγόροις οὐ
πάνυ χαλεπαίνω· καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό
μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν τι· τοῦτο αὐτοῖς
3 ἄξιον μέμφεσθαι. Τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς υἱεῖς μου,
ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυ-

---

8. Παλαμήδῃ καὶ Αἴαντι) Παλαμήδης μὲν γὰρ Ὀδυσσέως μανίαν προσποιουμένου διὰ τὸν πρὸς Τροίαν πόλεμον, πρὸ τοῦ ἀρότρου θεὶς Τηλέμαχον τὸν υἱόν, ἀνεκάλυψε τὴν ἀλήθειαν· καὶ ἐν τῇ Τροίᾳ πρὸς ἄμυναν Ὀδυσσέως κρύψαντος ἐν τῇ σκηνῇ αὐτοῦ χρήματα, καὶ εἰπόντος ὡς ἔκλεψεν αὐτά, ἐλιθοβόλησαν αὐτόν. Ὁ δὲ Τελαμώνιος Αἴας ὑφ' ἑαυτοῦ ἐφονεύθη, ἐπειδὴ κριθεὶς μετὰ Ὀδυσσέως περὶ τῶν ὅπλων Ἀχιλλέως οὐκ ἔλαβεν αὐτός, κρινόντων τῶν Ἑλλήνων, ἀλλ' Ὀδυσσεύς.

10. Τὴν πολλὴν στρατ.) Τῶν Ἑλλήνων. Τὸν Μενέλαον δηλ. ἢ τὸν Ἀγαμέμνονα· διὰ γὰρ Ἑλένην γυναῖκα Μενελάου, ἀδελφοῦ Ἀγαμέμνονος ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου τοῦ Πριάμου ἦλθον εἰς Τροίαν οἱ Ἕλληνες. — Ἀμήχανον ἂν εἴη εὐδ.) Μεγίστη ἂν εἴη εὐδαιμονία, κατὰ ἐναλλαγὴν πτώσεως· ἀντὶ ἀμήχανος εὐδαιμονία.

11. Τά τε γὰρ ἄλ.) Καὶ κατὰ τὰ ἄλλ.

λγ'. 2. Τὸ σημεῖον) Ὅρα λά.

— Τοῖς καταψηφισ.) Τὸ Χαλεπαίνω καὶ δοτικῇ καὶ πρὸς αἰτιατικὴν μετὰ τῆς Πρός.

— Οὐ ταύτῃ διανοίᾳ) Ἐλλείπει ἡ Ἐν.

— Τοῦτο αὐτοῖς) Ἤτοι τοῦτό ἐστιν ἄξιον μέμφεσθαι αὐτοῖς.

3. Ταὐτὰ ταῦτα λυποῦντας) Λυποῦν-

Ε. Υ. Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κοῦντες ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημά-
των ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δο- 6
κῶσί τι εἶναι, μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν,
ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι, ὄντες οὐδενὸς ἄ-
ξιοι. Καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν
αὐτός τε καὶ οἱ υἱεῖς. Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν,
ἀποθανουμένῳ, ὑμῖν δὲ, βιωσομένοις. Ὁπότεροι δὲ ἡμῶν ἔρ-
χονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

## Γ΄. ΚΡΙΤΩΝ, Η ΠΕΡΙ ΔΟΞΗΣ ΑΛΗΘΟΥΣ ΚΑΙ ΔΙΚΑΙΟΥ (*).

### Ἠθικός.

α΄. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρῲ ἔτι ἐστί; —
Κρ. Πάνυ μὲν οὖν. — Σωκ. Πηνίκα μάλιστα; — Κρ. Ὄρ-
θρος βαθύς. — Σωκ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμω- 2
τηρίου φύλαξ ὑπακοῦσαι. — Κρ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ
Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾷν· καί τι καὶ εὐεργέτη-
ται ὑπ' ἐμοῦ. — Σωκ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; — Κρ. Ἐ- 3
πιεικῶς πάλαι. — Σωκ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με,
ἀλλὰ σιγῇ παρακάθησαι; — Κρ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρα-
τες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶ-
ναι. Ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως 4
καθεύδεις· καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς.
Καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαι-
μόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ
ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. — Σωκ. Καὶ 5
γὰρ ἂν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄν-
τα, εἰ δεῖ ἤδη τελευτᾷν. — Κρ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τη-
λικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται· ἀλλ' οὐδὲν αὐτοῖς

---

τες αὐτοὺς ὁμοίως, καθὼς ἐγὼ ὑμᾶς ἐλύπουν.

(*) Κρίτων μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος· ὅτι Σωκράτη τίθησι Κρίτωνα διαλεγόμενον· ἠθικὸς δὲ ὡς περὶ δόξης ἀληθοῦς καὶ δικαίου διαλαμβάνων, ἅπερ ἠθῶν ἐστι διδασκαλία. Ἐπαινεῖται δὲ παρὰ πολὺ ὑπὸ Κλήμεντος Ἀλεξανδρέως ἐν Στρωματ. Ε΄. καὶ παρ' ἄλλοις πολλοῖς.

α΄. Πάνυ μὲν οὖν) Πρωΐ ἐστι δηλ.

— Πηνίκα μάλιστα) Τὸ παρ' ἡμῖν καὶ Ὡσὰν τίς ὥρα ἐστί;

— Ὄρθρος) Φρύνιχός φησιν, ὅτι οἱ παλαιοὶ ὄρθρον ἔλεγον τὸ πρὸ ἀρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λύχνῳ δύναταί τις χρῆσθαι.

2. Ὁ τοῦ δεσμωτ. φύλ.) Ὃν ἐν Φαίδωνι. Θυρωρὸν καλεῖ. γ΄.

3. Ἐπιεικῶς πάλ.) Ἱκανῶς δηλ. πάλαι.

— Εἶναι) Σὲ δηλ.

4. Σοῦ πάλαι θαυμ.) Πρὸς γενικὴν ἐν γὰρ εἴδει εἰρωνείας λέγει ταῦτα· εἰρωνευομένοις γὰρ μετὰ γενικῆς τὸ θαυμάζω ἔθει εἰς χρῆσιν.

— Τοῦ τρόπου) Ἕνεκα δηλ. Σημειούσθω δὲ ὅτι λέγεται Εὐδαιμονίζω σοῦ τὸ δὲ κτητικῶς· καὶ, Εὐδαιμονίζω σε τοῦ δὲ καὶ ἐξ ὑπείρου τοῦ ἕνεκα.

5. Τηλικοῦτ.) Τῆς ἡλικίας, γέροντα δηλ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006